ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

10

# Τάξις
# Δοξολογίας
# ἐπὶ τῇ Ἐνάρξει
# τοῦ Νέου
# Ἐκκλησιαστικοῦ Ἔτους

Ἐκδόσεις
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς
Φυλὴ Ἀττικῆς 2019

# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

10

# Τάξις
## Δοξολογίας
## ἐπὶ τῇ Ἐνάρξει
## τοῦ Νέου
## Ἐκκλησιαστικοῦ Ἔτους

# Περιεχόμενα

## Τάξις
## Δοξολογίας ἐπὶ τῇ Ἐνάρξει
## τοῦ Νέου Ἐκκλησιαστικοῦ Ἔτους


| | | |
|---|---|---|
| ● | Εἴδησις | 5 |
| Α΄. | Ἔναρξις - Ἀπολυτίκια | 5 |
| Β΄. | Δοξολογία | 7 |
| Γ΄. | Δεήσεις | 8 |
| Δ΄. | Εὐχὴ | 11 |
| Ε΄. | Ἀπόλυσις | 13 |


✠


© Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς


Φυλὴ Ἀττικῆς
Λεωφ. Φυλῆς 44 (Δημοτικὴ Ἑνότης Φυλῆς),
Τ.Κ. 133 51, ΦΥΛΗ - ΕΛΛΑΣ.
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 2487388
Τηλεαντίγραφα (Telefax): 210 2487389
E-mail: mitropolis-orfyl@hsir.org
Ἱστοσελίδα: www.hsir.org

# Τάξις
## Δοξολογίας ἐπὶ τῇ Ἐνάρξει
## τοῦ Νέου Ἐκκλησιαστικοῦ Ἔτους

## Ὑπὲρ Εἰρήνης
## τοῦ σύμπαντος κόσμου

## Εἴδησις

Συμπαρόντων καὶ συνευχομένων τοῦ τε Κλήρου καὶ τοῦ Λαοῦ, ἄρχεται ἡ Ἀκολουθία, τοῦ Ἱερέως φέροντος Ἐπιτραχήλιον, τοῦ δὲ Διακόνου Στιχάριον σὺν Ὀραρίῳ.

* * *

## Α΄. ΕΝΑΡΞΙΣ - ΑΠΟΛΥΤΙΚΙΑ

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Λαός·

Ἀμήν!

Ἀρχόμεθα εὐθὺς ψάλλειν τὰ ἑξῆς Τροπάρια·

Ὁ Λαός·
Ἀπολυτίκιον τῆς Ἰνδίκτου.
Ἦχος β΄.

Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός Σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν Σου, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

Ἀπολυτίκιον τοῦ Σταυροῦ.
Ἦχος α΄.

Σῶσον, Κύριε, τὸν Λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου Πολίτευμα.

Κοντάκιον τῆς Ἰνδίκτου.
Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ τῶν αἰώνων ποιητὴς καὶ Δεσπότης, Θεὲ τῶν ὅλων ὑπερούσιε ὄντως, τὴν ἐνιαύσιον εὐλόγησον περίοδον, σώζων τῷ ἐλέει Σου τῷ ἀπείρῳ Οἰκτῖρμον, πάντας τοὺς λατρεύοντάς Σοι τῷ μόνῳ Δεσπότῃ,

καὶ ἐκβοῶντας φόβῳ· Λυτρωτά, εὔφορον πᾶσι, τὸ ἔτος χορήγησον.

* * *

## Β΄. ΔΟΞΟΛΟΓΙΑ

Τοῦ Διακόνου προσφέροντος θυμίαμα εἰς ἅπαντα τὸν Ναόν, ψάλλονται Δοξολογικοὶ Στίχοι, ὡς ἐφ᾽ ἑξῆς.

Ὁ Λαός·
Δοξολογικοὶ Στίχοι.
Ἦχος βαρύς.

Δόξα Σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν Σε, εὐλογοῦμέν Σε, προσκυνοῦμέν Σε, δοξολογοῦμέν Σε, εὐχαριστοῦμέν Σοι, διὰ τὴν μεγάλην Σου δόξαν.

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός Σου, Κύριε.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ Ὄνομά Σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Ε**ὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά Σου. (ἅπαξ)

**Π**αράτεινον τὸ ἔλεός Σου τοῖς γινώσκουσί Σε.

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἅπαξ)

* * *

# Γ΄. ΔΕΗΣΕΙΣ

Εἶτα αἱ ἑξῆς δεήσεις.

Ὁ Διάκονος·

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ο Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος - τοῦ ἐπιχωρίου Ἀρχιερέως).

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

## Ἐν ταῖς Ἱεραῖς Μοναῖς

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος - τοῦ Ἡγουμένου) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τῆς Μητρὸς τῆς Ἱερᾶς Μονῆς ταύτης (δεῖνος - τῆς Ἡγουμένης) Μοναχῆς, καὶ πάσης τῆς ἐν Χριστῷ αὐτῆς Ἀδελφότητος.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

---

Ὁ Διάκονος·

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν Αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

Ἔτι δεόμεθα ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐκκλησιαστικὸν Ἐνιαυτὸν τῆς Χρηστότητος τοῦ Κυρίου, καὶ γενέσθαι αὐτὸν εἰρηνικὸν καὶ σωτήριον.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ Ἐνορίαν ταύτην, [τὴν ἁγίαν Μονὴν ταύτην], τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ ὀργῆς, λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου·

Ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν Ἀγαθὸν καὶ Φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Λαὸς ψάλλει χῦμα, πραείᾳ τῇ φωνῇ, μ΄, ἀνὰ ι΄ ἐναλλάξ, καὶ αὖθις γ΄ ἐναλλάξ·

Κύριε, ἐλέησον.

Ὁ Διάκονος·

Ἔτι δεόμεθα, καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Λαός·

Ἀμήν.

* * *

## Δ′. ΕΥΧΗ

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν!

Ὁ Λαός·

Κύριε, ἐλέησον.

**Εὐχὴ**

Ο Ἱερεὺς κλινόμενος, ἐπεύχεται χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

**Ὑπὲρ εἰρήνης τοῦ κόσμου**

Δέσποτα Θεέ, Πάτερ Παντοκράτορ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς· ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Παρθένου τεχθεὶς καὶ διδάξας τοῖς ἀνθρώποις ἀγάπην καὶ εἰρήνην ἔχειν πρὸς ἀλλήλους.

Κατάπεμψον τὴν Χάριν Σου τὴν ἐπουράνιον, καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ μέγα Σου ἔλεος, πάσης ἀνάγκης ρυόμενος.

Παῦσον τὰ φρυάματα τῶν ἐθνῶν· εἰρήνευσον ἡμῶν τὴν ζωήν· λύτρωσαι ἡμᾶς καὶ τὸν κόσμον Σου ἅπαντα ἀπὸ πάσης ἀπειλῆς ἐναντίας, καὶ δίδαξον τοῖς ἡγέταις τῶν ἐθνῶν ἐν εἰρήνῃ ἐπιλύειν τὰς διαφορὰς αὐτῶν, καὶ ἐν παντὶ εἰρηνεύειν· ὑπόταξον δὲ πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα.

Ἐξαπόστειλον περιστεράν, κλάδον ἐλαίας ἔχουσαν ἐπὶ τοῦ στόματος, καταλλαγῆς σύμβολον· τοὺς ἐν αἰχμαλωσίᾳ ἀδελφοὺς ἡμῶν ἀναρρύσαι· τοὺς Ἄρχοντας ἡμῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· δώρησαι δὲ ἡμῖν βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, Σοῦ δεόμενοι ὑπὲρ εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου καὶ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, τὴν συμμαχίαν ἔχοντες τὴν Σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ ἐκφωνεῖ ἐμμελῶς·

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δό-

ξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

**Ἀ**μήν!

* * *

## Ε΄. ΑΠΟΛΥΣΙΣ

Ὁ Ἱερεύς, ποιεῖ τὴν Ἀπόλυσιν, ἐκφωνῶν ἐμμελῶς·

Ὁ Ἱερεύς·

**Δ**όξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Ἀναγνώστης·

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι·
**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. **Ἀ**μήν.
**Κ**ύριε, ἐλέησον. (γ΄)
**Π**άτερ ἅγιε, εὐλόγησον.

Χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

**Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· **τ**αῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας Αὐτοῦ Μητρός· **τ**ῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· **τ**ῶν

ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· **τ**ῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· **τ**ῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· **τ**οῦ Ἁγίου (δεῖνα - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν· **κ**αὶ πάντων τῶν Ἁγίων· **ἐ**λεήσαι καὶ σώσαι ἡμᾶς, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος.

**Καὶ ἐκφωνεῖ ἐμμελῶς·**

**Δ**ι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ Λαός·

**Ἀ**μήν!

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**
**Ἀμήν!**




✠

**Δ**ιὰ τὴν σύνταξιν τῆς παρούσης Ἀκολουθίας:

**«Τάξις Δοξολογία ἐπὶ τῇ Ἐνάρξει τοῦ Νέου Ἐκκλησιαστικοῦ Ἔτους»,** ἐλήφθησαν ὑπ᾽ ὄψιν τὰ σχετικὰ Λειτουργικὰ Κείμενα τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, ὡς καὶ τὰ ἑξῆς ἔργα:

**α.** *Ἐπίσημοι Δοξολογίαι Μεγάλων Ἑορτῶν καὶ Ἐπετείων,* ἐκδ. «Α.Δ.Ε.Ε.», ἔκδοσις β΄, Ἀθῆναι 1999.

**β.** Μητροπολίτου Τίτου Ματθαιάκη, *Ἐγκόλπιον Εὐχολόγιον,* ἔκδοσις δ΄, Ἀθῆναι 2000.